θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φαιδροτάτης Μεταμορφώσεως τὴν πανήγυριν ἄγομεν, καὶ θάπτεται κατ' αὐτὴν τὴν ἡμέραν ἐντίμως τε καὶ λαμπρῶς παρ' ἡμῶν τε καὶ ἑτέρων τῶν τότε παρευρεθέντων αὐτοῦ φοιτητῶν, ἐν τῷ πρὸ πολλῶν ἐτῶν, ὡς ἔφημεν, παρ' αὐτοῦ σχεδιασθέντι μνημείῳ, καὶ εἰς τὴν ἀγήρω ζωὴν μετατίθεται, λαμπρῶς τῷ λαμπρῷ καὶ θείῳ φωτὶ παριστάμενος· ᾧ δόξα πρέπει καὶ τιμὴ καὶ προσκύνησις ἐπ' ἀϊδίους αἰῶνας, ἀμήν.

Ἔστι δὲ καὶ ἐπιτάφιον αὐτῷ παρ' ἡμῶν πεποιημένον τόδε·

Ἐνθάδε Εὐγενίοιο μεγακλέος ἀνέρος ἐσθλοῦ
κεῖται ἐπ' εὐσεβίῃ σῶμα μέγ' εὐγενέος.

Γέγραπταί μοι ὁ βίος οὗτος κατὰ τὸ ͵αψγ'. ἀπὸ Χριστοῦ, ἰουνίου λ'. ἐν τῷ Ἀνατωλικῷ τῆς Αἰτωλίας.

---

Μεταγέγραπται δὲ καὶ παρ' ἐμοῦ τοῦ ἐλαχίστου Σωτηρίου κατὰ τὸ ͵αψνη'. ποσειδεῶνος ζ'. ἐν τῇ Γούβῃ τῶν Βρανιανῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ